No. ....

THE TRUSTEES OF THE PUBLIC LIBRARY OF THE CITY OF BOSTON 1852 1878

LUX OMNIUM CIVIUM

FROM THE

ELIZABETH FUND

B: KOVIN

B Koning

FABULÆ
ÆSOPI
Græcè & Latinè,
NUNC DENUO SELECTÆ:

Eæ item, quas AVIENUS *carmine expreſſit.*

Accedit RANARUM & MURIUM PUGNA, Homero olim adſcripta.

Cum elegantiſſimis in utroque libello Figuris, & utriuſque Interpretatione, plurimis in locis emendata.

Ex decreto DD. Hollandiæ ORDINUM, in uſum Scholarum.

Editio noviſſima a plurimis mendis repurgata.




AMSTELODAMI,
Apud PAULUM MATTHIÆ F. CIↃ IↃ CLX.

XG.660.AelF

DANIELIS HEINSII
DE
ÆSOPI FABULIS
& ejus Sapientia.

ὍΣΣΗΝ Ἑλλὰς ἅπασα, καὶ Αὐσονίη μεγάθυμος,
Ὁ Φρὺξ φραδμοσύνην κτήσατο καὶ πινυτήν.
Μοῦνος καὶ σοφίην ἀπεμάξατο πᾶσαν Ὁμήρου,
Σὺν καὶ Ὀδυσσείας, σύν τε καὶ Ἰλιάδος.
Πρωτεύς τοι καὶ πᾶσαν ἀπῴκισε· τὴν πρὶν ἐοῦσαν
Τῶν μερόπων, ζωοῖς μίγδα χαρισσάμενος.
Κερδὼ Ὀδυσσεύς ἐστι· λέων δέ οἱ ἐστιν Ἀχιλλεύς·
Καὶ βάτραχον καὶ μῦν εἶδεν ἀριπρεπέα.
Πάντη δ᾽ ἀνδρομέην δήεις φρόνιν ἰδὲ καὶ ἔργα·
Αὐτὸν δὲ Κρονίδην πᾶσιν ἐφιστάμενον.
Ὦ παίδων μελέδημα, καὶ ἀνέρα πάντα πινύσκων·
Ὦ παίξας σπουδῆς ἄξια καὶ μελέτης.



ΕΚ ΤΩΝ ΦΙΛΟ-
ϛράτȣ Εἰκόνων,
Μῦθοι.

ΦΟΙΤΩ͂ΣΙΝ οἱ Μῦθοι παρὰ τὸν Αἴσωπον, ἀγαπῶντες αὐτὸν, ὅτι αὐτῶν ἐπιμελεῖται. Ἐμέλησε μὲν γὰρ καὶ Ὁμήρῳ Μύθȣ, καὶ Ἡσιόδῳ, ἔτι δὲ καὶ Ἀρχιλόχῳ πρὸς Λυκάμβην· ἀλλὰ Αἰσώπῳ πάντα τὰ τῶν ἀνθρώπων ἐκμεμύθωται· καὶ λόγȣ τοῖς θηρίοις μεταδέδωκε λόγȣ ἕνεκα.

EX PHILO-
STRATI IMAGI-
nibus, Fabulæ.

FAbulæ ſe ad Æſopum, præ amore, quo eum proſequuntur, quaſi ſtudio diſcendi, conferunt: quippe cui curæ ſe eſſe vident. Nam & Homero quidẽ, & Heſiodo, ſed & adverſus Lycamben Archilocho, cura Fabularum fuit. Æſopus verò in huma-

πλεονεξίαν γὰρ ἐκκόπτει καὶ ὕβριν ἐλαύνει, καὶ ἀπάτην. καὶ ταῦτα λέων τις αὐτῷ ὑποκρίνεται· καὶ ἀλώπηξ καὶ ἵππος, νὴ Δία. καὶ οὐδὲ ἡ χελώνη ἄφωνος· ὑφ' ὧν τὰ παιδία μαθηταὶ γίνονται τῶν τοῦ βίου πραγμάτων. εὐδοκιμοῦντες οὖν οἱ Μῦθοι διὰ τὸν Αἴσωπον, φοιτῶσιν ἐπὶ τὰς θύρας τοῦ σοφοῦ, ταινίαις αὐτὸν ἀναδήσοντες, καὶ στεφανώσοντες αὐτὸν θαλλοῦ στεφάνῳ. ὁ δὲ οἶμαι τινὰ ὑφαίνει μῦθον· τὸ γὰρ μειδίαμα τοῦ προσώπου, καὶ οἱ ὀφθαλμοὶ κατὰ τῆς γῆς ἑστῶτες, τοῦτο δηλοῦσιν. οἶδεν ὁ ζωγράφος, ὅτι αἱ τῶν Μύθων φροντίδες ἀνειμένης τῆς ψυχῆς δέονται. φιλοσοφεῖ δὲ ἡ γραφὴ καὶ τὰ τῶν Μύθων σώματα, καὶ θηρία συμβάλλουσι ἀνθρώ-

humana vita deſcribenda omnes prope Fabulas conſumſit. qui non ſine ratione, brutis tribuit ſermonem. Quo & cupiditatem tollit, & libidinem profligat, & fraudem. Atque hæc ei Leo quidam, & Vulpes,&,ſi Diis placet, Equus repræſentat. Ac ne Teſtudo quidem muta hîc eſt. Ex quibus quæ in vita hominum geruntur, pueri addiſcunt. Habitæ igitur in precio Æſopi cauſſâ fabulæ, ad fores Sapientis ſtudiosè accedunt: uti vittis coroniſq; ex olea involvant ei caput. Ille autem Fabulam interea, ni fallor, meditatur.

ποις, περιίστησι χορὸν τῷ Αἰσώπῳ, ἀπὸ τῆς ἐκείνου σκηνῆς συμπλάσασα· κορυφαία δὲ τοῦ χοροῦ ἡ Ἀλώπηξ γέγραπται· χρῆται γὰρ αὐτῇ ὁ Αἴσωπος διακόνῳ τῶν πλείστων ὑποθέσεων, ὥσπερ ἡ κωμῳδία τῷ Δαῷ.

tatur. Quod & riſus, qui in vultu, fixique in terram oculi, teſtantur. Quippe Fabulas, remiſſæ mentis curam eſſe, haud ignoravit pictor. Sapienter autem Fabulas corporibus expreſſit pictura: quæ conjungens brutis homines, choro illum, ex ſcena ejus deſumto, circumdat. Chori dux picta eſt Vulpecula. Quâ Æſopus in pleriſque argumentis adminiſtrâ utitur, ut Davo Comœdia.



α΄. ΑΛΩΠΗΞ καὶ ΒΑΤΟΣ.

Ἀλώπηξ φραγμὸν ἀναβαίνουσα, ἐπειδὴ ὀλισθήσασα καταπίπτειν ἔμελλεν, ἐπελάβετο πρὸς βοήθειαν βάτου. καὶ δὴ τοὺς πόδας ἐπὶ τοῖς ἐκείνης κέντροις αἱμάξασα καὶ ἀλγήσασα, πρὸς αὐτὴν εἶπεν, Οἴμοι, καταφυγοῦσάν με γὰρ ἐπί σε, ὡς ἐπὶ βοηθὸν, σὺ χεῖρον διέθηκας. Ἀλλ' ἐσφάλης, ὦ ἄυτη, φησὶν ἡ βάτος,

Fabula I. Vulpes & Rubus.

Vulpes ſepem cùm conſcenderet, jámque ex lapſu pedum caſura foret, Rubum in ſubſidium apprehendit. Cujus cùm aculëis lancinata, ac conſperſa ſanguine doleret; Hei mihi, inquit, quæ ad te cauſſâ ſubſidii confugi: tu verò pejus etiam me excepiſti. Atqui

ἐμȣ͂ βȣληθεῖσα ἐπιλαβέσθαι, ἥτις πάντων ἐπιλαμβάνεσθαι εἴωθα.

ΕΠΙΜΥΘΙΟΝ.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ οὗτοι τῶν ἀνθρώπων μάταιοι, ὅσοι βοηθεῖς προστρέχȣσιν, οἷς τὸ ἀδικεῖν μᾶλλον ἔμφυτον.

Atqui erraſti, heus tu, inquit Rubus, quæ apprehendere me voluiſti, qui apprehendere omnes ſoleo.

AFFABULATIO.

Fabula ſignificat, etiam eos homines dementes eſſe, qui ad eos auxilii cauſſâ accurrunt, quibus injuriâ afficere naturâ innatum eſt.



β΄. ΑΛΩΠΗΞ.

Ἀλώπηξ εἰς οἰκίαν ἐλθȣ͂σα ὑποκριτȣ͂,

FABULA II.

Vulpes.

Vulpes in domum mimi cùm veniſſet,

καὶ ἕκαστα τῶν αὐτοῦ σκευῶν διερευνωμένη, εὗρε καὶ κεφαλὴν μορμολυκείου εὐφυῶς κατεσκευασμένην. ἣν καὶ ἀναλαβοῦσα ταῖς χερσὶν, ἔφη, Ὢ οἵα κεφαλὴ, καὶ ἐγκέφαλον οὐκ ἔχει!

ſet, ſingula illius vaſa perſcrutata, larvæ quoque caput affabre factum invenit. quo in manus ſumto, O quale, inquit, caput; & cerebrum non habet!


ΕΠΙΜΥΘΙΟΝ.

Ὁ μῦθος πρὸς ἄνδρας, μεγαλοπρεπεῖς μὲν τῷ σώματι, κατὰ δὲ ψυχὴν ἀλογίστους.

AFFABULATIO.

Fabula in viros, magnificos quidem corpore, animo autem inconſultos.

FABU-



γ'. ΥΣ ϗ ΚΥΩΝ.

Ὗς ϗ Κύων περὶ εὐτοκίας ἤριζον. ἔφη δ' ἡ Κύων, εὔτοκος εἶναι μάλιστα πάντων τῶν πεζῶν. καὶ ἡ Ὗς ὑποτυχοῦσα, πρὸς ταῦτα φησίν· Ἀλλ' ὅταν τοῦτο λέγῃς, ἴσθι, ὅτι ϗ τυφλοὺς τοὺς σαυτῆς σκύλακας τίκτεις.

ΕΠΙΜΥΘΙΟΝ.

ὁ μῦθος δηλοῖ, ὅτι

FABULA III.
Sus & Canis.

SUs & Canis de fœcunditate certabant. Ac Canis quidem omnium pedeſtrium ſe fœcundiſſimam ajebat. cui Sus occurrens, Hæc cùm dicis, inquit, cæcos quoque catulos te párere memento.

AFFABULATIO.

Fabula ſignificat, non

οὐκ ἐν τῷ τάχει τὰ πράγματα, ἀλλ᾽ ἐν τῇ τελειότητι κρίνεται.

non ex celeritate, ſed ex perfectione de rebus judicari.



δ΄. ΓΕΡΩΝ καὶ ΘΑΝΑΤΟΣ.

Γέρων ποτὲ ξύλα κόψας, καὶ ταῦτα φέρων, πολλὴν ὁδὸν ἐβάδιζε, καὶ διὰ τὸν πολὺν κόπον ἀποθέμενος ἔν τόπῳ τινὶ τὸν φόρτον, τὸν Θάνατον ἐπεκαλεῖτο. τοῦ δὲ Θανάτου παρόντος, καὶ πυνθανομένου τὴν

Fabula IV. Senex & Mors.

Senex olim inciſa à ſe ligna ferēs, multam ibat viam, nimióque præ labore, depoſito in loco quodā onere, Mortem invocabat. Verū Mors cùm accederet, cauſſámque, ob quam vocaret

αἰτίαν, δι' ἣν αὐτὸν ἐκάλει, δειλιάσας ὁ γέρων, ἔφη· ἵνα μου τὸν φόρτον ἄρῃς.

caret ſe, exquireret, timore ſubito correptus ſenex, Ut meum onus, inquit, tollas.

ΕΠΙΜΥΘΙΟΝ.

ὁ μῦθος δηλοῖ, ὅτι πᾶς ἄνθρωπος φιλόζωος, εἰ καὶ δυστυχεῖ καὶ πτωχός ἐστι.

AFFABULATIO.

Fabula ſignificat, omnem hominem amare vitam, infelix licèt & mendicus ſit.



ε'. ΟΝΟΣ καὶ ΑΛΩΠΗΞ.

Ὄνος ἐνδυσάμενος λεοντῆν, περιῄει τἄλλα τῶν ζώων ἐκφοβῶν. καὶ δὴ θεασά-

FABULA V.

Aſinus & Vulpes.

ASINUS indutus pelle Leonis vagabatur, reliquiſque terrorem animalibus incu-

μδμ@ Ἀλώπεκα, ἐπειρᾶτο καὶ ταύτην δεδίττεσθαι. ἡ δὲ (ἐτύγχανε γὰρ αὐτοῦ φθεγξαμένου προακηκουῖα) πρὸς αὐτὸν ἔφη· Ἀλλ᾽ εὖ ἴσθι, ὡς καὶ ἐγὼ ἄν σε ἐφοβήθην, εἰ μὴ ὀγκωμένου ἤκουσα.

incutiebat. qui, conſpectâ Vulpe, & hanc terrrere conatus eſt. ea autem (fortè enim vocem ejus antè audiverat) ad ipſum, Atqui, & ego, certò ſcias, inquit, timuiſſem te, niſi rudentem audiviſſem.

ΕΠΙΜΥΘΙΟΝ.

Ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀπαιδεύτων τοῖς ἔξω δοκοῦντές τινες εἶναι, ὑπὸ τῆς ἰδίας γλωσσαλγίας ἐλέγχονται.

AFFABULATIO.

Fabula ſignificat, nonnullos indoctos, qui iis, quibus ſunt ignoti, aliquid videntur eſſe, ex ſua redargui loquacitate.

FABU-



ϛʹ. ΙΞΕΥΤΗΣ ϗ ΕΧΙΣ.

Ἰξευτὴς δίκτυον ἀναλαβὼν καὶ καλάμους, πρὸς ἄγραν ἐξῆλθεν. ἰδὼν δὲ κίχλην ἐφ' ὑψηλοῦ δένδρου καθεζομένην, καὶ τοὺς καλάμους ἀλλήλοις ἐπὶ μῆκος συνάψας, ἄνω πρὸς αὐτὴν συλλαβεῖν βουλόμενος ἐφεώρα. καὶ δὴ λαθὼν ἔχιν κοιμωμένην ὑπὸ πόδας ἐπάτησε. τῆς δ' ὀργισθείσης καὶ δακού-

FABULA VI.

Auceps & Vipera.

AUceps, rete accepto & arundinibus, aucupatum exiit. Viſo autem turdo, qui in alta arbore ſederet, arundinibus longâ ſerie inter ſe conjunctis, ſurſum eum prehenſurus oculos tollebat. Cæterùm ignarus, Viperam domientem concul-

σης αὐτὸν, ἐκεῖνος ἤδη λειποψυχῶν ἔλεγε, Δύστηνος ἐγὼ, ἕτερον γὰρ θηρεῦσαι βουλόμενος, αὐτὸς ὑφ᾽ ἑτέρου ἠγρεύθην εἰς θάνατον.


culcavit. Quæ offenſa ac irata, quum momordiſſet eum, ille jam agens animam, Me miſerum, ajebat: quippe qui alium capturus, ipſe ab alio ad mortem captus ſum.

ΕΠΙΜΥΘΙΟΝ.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς πέλας ἐπιβουλεύοντες, λανθάνουσι πολλάκις ὑφ᾽ ἑτέρων τοῦτ᾽ αὐτὸ πάσχοντες.

AFFABULATIO.

Fabula ſignificat, eos qui proximis inſidiantur, ignaros ſæpe ab aliis id ipſum pati.



ζʹ. ΚΥΩΝ καὶ ΜΑΓΕΙΡΟΣ.

ΚΥ'ΩΝ ἐσπηδήσας εἰς μαγειρεῖον, καὶ τοῦ Μαγείρου ἀσχολουμένου, καρδίαν ἁρπάσας ἔφυγεν. ὁ δὲ Μάγειρος ἐπιστραφεὶς, ὡς εἶδεν αὐτὸν φεύγοντα, εἶπεν· Ὦ οὗτος, ἴσθι, ὡς ὅπουπερ ἂν ἧς, φυλάξομαί σε. οὐ γὰρ ἀπ' ἐμοῦ καρδίαν εἴληφας, ἀλλ' ἐμοὶ καρδίαν ἔδωκας.

FABULA VII.
Canis & Cocus.

CAnis irrumpens in culinam, ibi Coco occupato, corde arrepto fugit. Converſus verò Cocus, ut ipſum vidit fugientem, Heus tu, inquit, ſcito, ubicunque fueris, me te obſervaturum. non enim cor mihi abſtuliſti, ſed dediſti.

ΕΠΙΜΥΘΙΟΝ.

ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις τὰ παθήματα τοῖς ἀνθρώποις μαθήματα γίνεται.

Affabulatio.

Fabula ſignificat, ſæpe mala hominibus documenta eſſe.



η΄.

ΓΥΝΗ ΚΑΙ ΟΡΝΙΣ.

Γυνὴ χήρα τις ὄρνιν εἶχε, καθ' ἑκάστην ἡμέραν ὠὸν αὐτῇ τίκτουσαν. Νομίσασα δὲ, ὡς εἰ πλείους τῇ ὄρνιθι κριθὰς παραβάλλοι, δὶς τέξεται τῆς ἡμέρας, τοῦτο πεποίηκεν, Ἡ δ' ὄρνις πιμε-

Fabula VIII.
Mulier & Gallina.

Mulier quædam vidua Gallinam habebat ſingulis diebus ovum ſibi parientem. Rata vero, ſi plus hordei Gallinæ objiceret, bis parituram die, hoc

λῆς γινομένη, οὐδ' ἅπαξ τῆς ἡμέρας τίκτειν ἠδύναται.

hoc fecit. Gallina autem pinguefacta, ne ſemel quidem die párere potuit.

ΕΠΙΜΥΘΙΟΝ.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ διὰ πλεονεξίαν τῶν πλειόνων ἐπιθυμοῦντες, καὶ τὰ παρόντα ἀποβάλλουσι.

AFFABULATIO.

Fabula ſignificat, eos qui ob avaritiam plura appetunt, ea quoque, quæ adſunt, amittere.



θ'. ΟΡΝΙΣ ΧΡΥΣΟΤΟΚΟΣ.

Ὄρνιθά τις εἶχεν ὠὰ χρυσᾶ τίκτουσαν· καὶ

FABULA IX.

Gallina auripara.

GAllinam quædam habuit, quæ

νομίσασα, ἔνδον αὐτῆς ὄγκον χρυσίου εἶναι, κτείνασα εὗρεν ὁμοίαν τῶν λοιπῶν ὀρνίθων. Ἡ δὲ ἀθρόον πλοῦτον ἐλπίσασα εὑρήσειν, καὶ τοῦ μικροῦ ἐστέρηται ἐκείνου.


ova pareret aurea. Rata igitur, intra ipſam auri extare maſſam, occiſam, aliis gallinis ſimilem invenit. Illa igitur multum ſperans ſe inventuram divitiarum, exiguo quoque illo privata eſt.

ΕΠΙΜΥΘΙΟΝ.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι, καὶ τὴν ἀπληστίαν φεύγειν.

AFFABULATIO.

Fabula ſignificat, oportere contentum eſſe præſentibus, & inexplebilem fugere ſatietatem.



ί. ΑΙΛΟΥΡΟΣ ϗ ΜΥΕΣ.

ΕʼΝ οἰκίᾳ τινὶ πολλῶν Μυῶν ὄντων, Αἴλουρος τοῦτο γνοὺς ἧκεν ἐνταῦθα, ϗ καθέκαστον αὐτῶν συλλαμβάνων κατήσθιεν. Οἱ δὲ καθ' ἑκάστην ἑαυτοὺς ἀναλισκομένους ὁρῶντες, ἔφασαν πρὸς ἀλλήλους, Μηκέτι κάτω κατέλθωμεν, ἵνα μὴ παντάπασιν ἀπολώμεθα. εἰ γὰρ Αἴλουρος μὴ

FABULA X.
Felis & Mures.

IN domo quadam quum multi eſſent Mures, Felis eo cognito, illò ſe contulit; ſinguloſque captos devoravit. Illi verò quotidie quũ ſe abſumi viderẽt, inter ſe dixerunt, Ne poſthac deſcendamus, ne penitus intereamus. Nam ſi Felis non po-

δυνάμενος δεῦρο ἐξικνεῖσθαι, ἡμεῖς σωθησόμεθα. ὁ δὲ Αἴλουρος, μηκέτι τῶν Μυῶν καταιόντων, ἔγνω δι᾽ ἐπινοίας αὐτοὺς σοφιζόμενος ἐκκαλέσασθαι. καὶ δὴ ἐπὶ πασσάλου τινὸς ἑαυτὸν ἀναβὰς ἀπῃώρησε, καὶ προσεποιεῖτο νεκρὸς εἶναι. Τῶν δὲ Μυῶν τις παρακύψας, καὶ ἰδὼν αὐτὸν, ἔφη, Ὦ οὗτος, κἂν θύλαξ γένῃ, οὐ προσελεύσομαί σοι.

teſt venire huc, nos ſalvi erimus. Felis vero, quum non amplius Mures deſcenderent, dolo decipere eos ſtatuit, ac evocare: conſcenſoque quodam peſſulo, de eo ſe ſuſpendit, mortemque ſimulavit. Ex Muribus autem quidam, inclinato capite, eoque viſo, Heus tu, inquit, ne, ſi ſaccus quidem fias, ad te accedam.

ΕΠΙΜΥΘΙΟΝ.

ὁ μῦθος δηλοῖ, ὅτι τῶν ἀνθρώπων οἱ φρόνιμοι, ὅταν τῆς ἐνίων μοχθηρίας πειραθῶσιν, οὐκέτι αὐτῶν ἐξαπατῶνται ταῖς ὑποκρίσεσιν.

AFFABULATIO.

Fabula ſignificat, prudentes homines, quum quorumdam pravitatem experti fuerint, non amplius eorum falli ſimulationibus.

FABU-



ια΄. ΑΛΩΠΗΞ καὶ ΠΙΘΗΚΟΣ.

Ἐν συνόδῳ ποτὲ τῶν ἀλόγων ζώων ὠρχήσατο πίθηκος. καὶ εὐδοκιμήσας, βασιλεὺς ὑπ' αὐτῶν ἐχειροτονήθη. Ἀλώπηξ δὲ αὐτῷ φθονήσασα, ὡς ἔν τινι παγίδι κρέας ἐθεάσατο, τὸν πίθηκον λαβοῦσα ἐνταῦθα ἤγαγε, ὡς εὕροι μὲν αὐτὴ λέγουσα θησαυρὸν τοῦτον, μὴ μέντοι καὶ χρή-

FABULA XI.

Vulpes & Simius.

In Concilio quodã brutorum ſaltavit Simius: probatuſque, Rex ab ipſis electus eſt. Vulpes autem ei invidens, quum propter laqueum quendam carnem vidiſſet, Simium illuc ſecum duxit, inveniſſe ſe theſaurum dicens, quo non uteretur:

σαθαι αὐτῷ· τῷ βασιλεῖ γὰρ τοῦτον ὁ νόμος δίδωσι. καὶ προὐτρέπετο αὐτὸν, ἅτε δὴ βασιλέα τὸν θησαυρὸν ἀνελέσθαι. ὁ δὲ ἀπερισκέπτως προσελθὼν, καὶ συλληφθεὶς ὑπὸ τῆς παγίδος, ὡς ἐξαπατήσασαν ἐμέμφετο τὴν Ἀλώπεκα. ἡ δὲ πρὸς αὐτόν· Ὦ Πίθηκε, τοιαύτην σὺ μωρίαν ἔχων, τῶν ἀλόγων βασιλεύσεις;

quippe quem lex Regi tribueret. hortataque cum eſt, ut tanquam Rex hunc ſumeret theſaurum. At ille quum incogitanter eò ſeſe contuliſſet, captus laqueo, Vulpem, quod ſe decepiſſet, accuſabat. Ille vero, O Simie, inquit, tune tam demens imperium in bruta obtinebis?


ΕΠΙΜΥΘΙΟΝ.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ πράξεσί τισιν ἀπερισκέπτως ἐπιχειροῦντες, δυστυχήμασι περιπίπτουσι.

AFFABULATIO.

Fabula ſignificat, eos qui actiones quaſdam inconſultò aggrediuntur, in adverſam incidere fortunam.

FABU-



ιβ΄. ΧΕΛΩΝΗ καὶ ΑΕΤΟΣ.

Χελώνη Ἀετοῦ ἐδεῖτο, ἵπτασθαι ταύτην διδάξαι. τοῦ δὲ παραινοῦντος, πόῤῥω τοῦτο τῆς φύσεως αὐτῆς εἶναι, ἐκείνη μᾶλλον τῇ δεήσει προσέκειτο. Λαβὼν οὖν ταύτην τοῖς ὄνυξι, καὶ εἰς ὕψος ἀνενεγκὼν, εἶτ᾽ ἀφῆκεν. Ἡ δὲ κατὰ πετρῶν πεσοῦσα συνετρίβη.

FABULA XII.

Teſtudo & Aquila.


TEſtudo orabat Aquilam, ut ſe volare doceret. quæ quum moneret eam, alieniſſimum id à natura ejus eſſe; illa magis precibus inſtare. Acceptā ergo unguibus, in altumque ſublatam, mox demiſit. quæ in petras cecidit, & contrita eſt.

ΕΠΙΜΥΘΙΟΝ.

ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ, ἐκ φιλονεικίας τῶν φρονιμωτέρων παρακούσαντες, ἑαυτοὺς ἔβλαψαν.

AFFABULATIO.

Fabula ſignificat, multos, qui contentionis ſtudio prudentiores non audiverint, ſe ipſos læſiſſe.



ιγʹ. ΑΙΘΙΟΨ.

Αἰθίοπά τις ὠνήσατο, τοιοῦτον αὐτῷ τὸ χρῶμα εἶναι δοκῶν ἀμελείᾳ τοῦ πρότερον ἔχοντος αὐτὸν καὶ παραλαβὼν οἴκαδε, πάντα μὲν αὐ-

FABULA XIII.

Æthiopem quidam emit, talem ei colorem negligentia ejus, qui prius habuit, ineſſe ratus. Quem quum in domum

mum

τῷ προσῆγε τὰ ῥύμματα, πᾶσι, καὶ λουτροῖς ἐπειρᾶτο καθαίρειν. καὶ τὸ μὲν χρῶμα μεταβαλεῖν οὐκ εἶχε, νοσεῖν δὲ τῷ πονεῖν παρεσκεύασεν.

mum accepiſſet ſuā, omnia ei adhibuit purgamenta, cumque omnibus lavacris mundare tentavit. Et colorem quidem tranſmutare non potuit, morbum autem ex labore contraxit.


ΕΠΙΜΥΘΙΟΝ.

ὁ μῦθος δηλοῖ, ὅτι μένουσιν αἱ φύσεις, ὡς προῆλθον τὴν ἀρχήν.

AFFABULATIO.

Fabula ſignificat, manere naturas, ut à principio provenerunt.

FABU-



ιδ'. ΟΡΝΙΣ ϗ ΧΕΛΙΔΩΝ.

ΟΡΝΙΣ ὄφεως ὠὰ εὑροῦσα, ἐπιμελῶς ἐκθερμάνασα ἐξεκόλαψε. Χελιδὼν δὲ θεασαμένη αὐτὴν, ἔφη· Ὦ ματαία, τί ταῦτα τρέφεις; ἅπερ αὐξηθέντα ἀπὸ σοῦ πρώτης τοῦ ἀδικεῖν ἄρξεται.

ΕΠΙΜΥΘΙΟΝ.

ὁ μῦθος δηλοῖ, ὅτι

Fabula XIV. Gallina & Hirundo.


GAllina Serpentis ova cùm inveniſſet, diligenter calefacta excluſit. Hirundo autem quum eam vidiſſet, O demens, quid hæc nutris, inquit? quæ quū excreverint, à te prima injuriā auſpicabuntur.

Affabulatio.

Fabula ſignificat, non

ἀμετάθετός ἐστιν ἡ πονηρία, κἂν τὰ μέγιστα εὐεργετῆται.

non manſuefieri pravitatem, licèt maximis afficiatur beneficiis.



ιε΄. ΛΕΩΝ καὶ ΟΝΟΣ καὶ ΑΛΩΠΗΞ.

Λέων, καὶ ὄνος, καὶ ἀλώπηξ, κοινωνίαν ποιησάμενοι, ἐξῆλθον πρὸς ἄγραν. Πολλῆς οὖν θήρας συλληφθείσης, προσέταξεν ὁ λέων τῷ ὄνῳ διελεῖν αὐτοῖς. ὁ δὲ τρεῖς μερίδας ποιησά-

FABULA XV. Leo, Aſinus & Vulpes.

Leo, & Aſinus, & Vulpes, initâ ſocietate, ad venandum egreſſi ſunt. Multâ igitur prædâ captâ, mandavit Leo Aſino, illis ut divideret. At ille, tri-

μῦθος ἐκ τῶν ἴσων, ἐκλέξασθαι τοῦτον προὐτρέπετο. Καὶ ὁ Λέων θυμωθεὶς τὸν ὄνον κατέφαγε. εἶτα τῇ Ἀλώπεκι μερίζειν ἐκέλευσεν. ἡ δ᾽ εἰς μίαν μερίδα πάντα σωρεύσασα ἑαυτῇ βραχύ τι κατέλιπεν. Καὶ ὁ Λέων πρὸς αὐτὴν, Τίς σε, ὦ βελτίστη, διαιρεῖν οὕτως ἐδίδαξεν; ἡ δ᾽ εἶπε, Τοῦ ὄνου συμφορά.

tribus partibus æqualiter factis, ut eligerent eos hortabatur. Tum Leo irâ percitus, Aſinum devoravit. Inde vulpi ut divideret mandavit. Illa vero in partes omnia quum dividiſſet, ſibi minimum quid reliquit. Tum Leo ipſi, Quis te, ô optima, dividere ſic docuit? Illa, Aſini calamitas, inquit.

ΕΠΙΜΥΘΙΟΝ.

Ὁ μῦθος δηλοῖ, ὅτι σωφρονισμοὶ γίνονται τοῖς ἀνθρώποις τὰ τῶν πέλας δυστυχήματα.

AFFABULATIO.

Fabula ſignificat, monita hominibus eſſe aliorum infortunia.



ιϛʹ. ΛΕΩΝ καὶ ΑΡΚΤΟΣ.

Λέων καὶ Ἄρκτος ὁμοῦ βουνέβρῳ περιτυχόντες, περὶ τούτου ἐμάχοντο. Δεινῶς οὖν ὑπ' ἀλλήλων διατεθέντες, ὡς ἐκ τῆς πολλῆς μάχης καὶ σκοτοδινιάσαι, ἀπαυδήσαντες ἔκειντο. Ἀλώπηξ δὲ κύκλῳ περιιοῦσα, πεπτωκότας αὐτοὺς ἰδοῦσα, καὶ τὸ βουνέβρον ἐν τῷ μέσῳ κείμενον, τοῦτο διὰ μέσου

FABULA XVI.

Leo & Urſus.

Leo & Urſus, ſimul magnum nacti hinnulum, de eo pugnabant. Malè igitur à ſe mutuò accepti, adeò ut ex multa pugna etiam vertigine corriperentur, defatigati jacebāt. Vulpes autē circumcirca curſans, ubi proſtratos eos vidit, & hin-

ἀμφοῖν διαδραμοῦσα καὶ ἁρπάσασα, φεύγουσα ᾤχετο. οἱ δὲ βλέποντες μὲν αὐτὴν, μὴ δυνάμενοι δὲ ἀναστῆναι, Δείλαιοι ἡμεῖς, εἶπον, οἳ ἀλώπεκα ἐμοχθοῦμεν.

hinnulum in medio jacentem, hunc, curſu per medium utriuſque concitato, rapuit, fugâque abiit. At illi cùm viderent quidem ipſam, quia ſurgere autem non poſſent, Nos miſeros, ajebant, qui Vulpi laboravimus!


ΕΠΙΜΥΘΙΟΝ.

ὁ μῦθος δηλοῖ, ὅτι ἄλλων κοπιώντων, ἄλλοι κερδαίνουσιν.

AFFABULATIO.

Fabula ſignificat, aliis laborantibus, alios lucrari.

FABU-



ιζ. ΚΟΡΑΞ.

Κόραξ νοσῶν ἔφη τῇ μητρί· Μῆτερ, εὔχου τῷ Θεῷ, καὶ μὴ θρήνει. Ἡ δ᾽ ὑπολαβοῦσα ἔφη· Τίς σε, ὦ τέκνον, τῶν θεῶν ἐλεήσει; τίνος γὰρ κρέας ὑπὸ σοῦ γε οὐκ ἐκλάπη?

ΕΠΙΜΥΘΙΟΝ.

Ὁ μῦθος δηλοῖ, ὅτι εἰ πολλοὺς ἐχθροὺς ἐν βίῳ

FABULA XVII.


CORVUS ægrotans, ait matri; Mater,precare Deū, nec lamentare. Ea verò reſpondit, dixitque, Quis Deorum, ô fili,miſerebitur tui? cujus enim tu carnes non es furatus?

AFFABULATIO.

Fabula ſignificat, qui in vita multos

ἔχοντες, οὐδένα φίλον ἐν ἀνάγκῃ εὑρήσουσιν.

inimicos habent, amicum in neceſſitate inventuros neminem.



ιή. ΑΛΩΠΗΞ καὶ ΛΕΩΝ.

Ἀλώπηξ μήπω θεασαμένη λέοντα, ἐπειδὴ κατά τινα τύχην αὐτῷ συνήντησε, τὸ μὲν πρῶτον οὕτως ἐφοβήθη, ὡς μικροῦ καὶ ἀποθανεῖν. ἔπειτα τὸ δεύτερον θεασαμένη, ἐφοβήθη μὲν, οὐ

FABULA XVIII. Vulpes & Leo.

VULPES quum nunquam vidiſſet Leonem; atque ei caſu quodam occurriſſet, primùm ſic timuit, ut fermè moreretur. deinde quum ſecundò vidiſſet, timuit quidem, non tamen

μὴν ὡς τὸ πρότερον. ἐκ τρίτου δὲ τοῦτον θεασαμένη, οὕτως αὐτοῦ κατεθάῤῥησεν, ὡς καὶ προσελθοῦσα, διαλεχθῆναι.

tamen ut prius. tertiò autem quum vidiſſet ipſum, eos animos adverſus eum aſſumſit, ut & accederet, & colloqueretur.

ΕΠΙΜΥΘΙΟΝ.

ὁ μῦθος δηλοῖ, ὅτι ἡ συνήθεια, καὶ τὰ φοβερὰ τῶν πραγμάτων εὐπρόσιτα ποιεῖ.

AFFABULATIO.

Fabula ſignificat, conſuetudine ea quæ terribilia ſunt, acceſſu facilia fieri.



ιθʹ. ΓΡΑΥΣ καὶ ΙΑΤΡΟΣ.

Γυνὴ γραῦς ἀλγοῦσα τοὺς ὀφθαλμοὺς, εἰσκαλεῖταί τινα τῶν ἰατρῶν ἐπὶ μισθῷ, συμφωνήσασα, ὡς εἰ μὲν θεραπεύσειεν αὐτὴν, τὸν ὁμολογηθέντα μισθὸν αὐτῷ δώσειν· εἰ δὲ μὴ, μηδὲν δώσειν. Ἐνεχείρησε μὲν οὖν ὁ Ἰατρὸς τῇ θεραπείᾳ· καθ' ἡμέραν δὲ φοιτῶν ὡς τὴν πρεσβύτιν,

Fabula XIX. Anus & Medicus.

Mulier Anus ægra oculis, Medicum quendā mercede pactâ ad ſe vocat, eâ lege, ut ſi curaret ſe, pactam mercedem ei daret; ſin autem minùs, nihil daret. Aggreſſus eſt igitur Medicus curam: quotidie verò accedens ad vetulā, & oculos ei ungens, quum

καὶ τοὺς ὀφθαλμοὺς αὐτῇ χρίων, ἐκείνης μηδαμῶς ἀναβλέπειν ἐχούσης τὴν ὥραν ἐκείνην ὑπὸ τοῦ χρίσματος, αὐτὸς ἐν τι τῶν τῆς οἰκίας σκευῶν ὑφαιρούμενος ὁσημέραι, ἀπῄει. Ἡ μὲν οὖν Γραῦς τὴν ἑαυτῆς περιουσίαν ἑώρα καθεκάστην ἐλαττουμένην ἐπὶ τοσοῦτον, ὡς καὶ τέλος παντάπασιν αὐτῇ θεραπευθείσῃ μηδὲν ὑπολειφθῆναι. Τοῦ δὲ Ἰατροῦ τοὺς συμφωνηθέντας μισθοὺς αὐτὴν ἀπαιτοῦντος, ὡς καθαρῶς βλεπούσαν ἤδη, καὶ τοὺς μάρτυρας παραγαγόντος, Μᾶλλον μὲν οὖν, εἶπεν ἐκείνη, τανῦν οὐδὲ οὖν βλέπω. Ἡνίκα μὲν γὰρ τοὺς ὀφθαλμοὺς ἐνόσουν, πολλὰ τῶν ἐμῶν κατὰ τὴν ἐμαυτῆς ἔβλεπον οἰκίαν· νῦν δ' ὅτι με σὺ βλέπειν φῂς, οὐδὲ ἓν ἐκείνων ὁρῶ.

quum ea nihil videre poſſet, quia unctâ erat, câ ipsâ horâ ipſe vas aliquod ex domo auferebat quotidie, ac ſic abibat. Vetula igitur ſupellectilem ſuam ſingulis diebus minui adeò videbat, ut tandem omnino reſtitutæ nihil relinqueretur. At Medicus, quum jam pactam ab ea pecuniam efflagitaret, ut quæ rectè jam videret, teſteſq; adduceret; Nihil certè, ait illa, nunc video. Nam quum oculis laborabā, multa mea in mea videbam domo: nunc autem, quum me tu videre inquis, nihil omnino ex illis video.

ΕΠΙΜΥΘΙΟΝ.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ πονηροὶ τῶν ἀνθρώπων ἐξ ὧν πράττουσι, λανθάνουσι καθ' ἑαυτῶν τὸν ἔλεγχον ἐπισπώμενοι.

AFFABULATIO.

Fabula ſignificat, pravos homines ex iis quæ agunt non videre ſe adverſus ſeſe argumentum afferre.



κ' ΖΕΥΣ καὶ ΧΕΛΩΝΗ.

ΖΕΥΣ γάμους τελῶν, πάντα τὰ ζῶα εἱστία. Μόνης δὲ τῆς Χελώνης ὑστερησούσης, διαπορῶν τὴν αἰτίαν τῆς ὑστερήσεως, ἐπυνθάνετο αὐτῆς, τίνος χάριν αὐτὴ ἐπὶ τὸ δεῖπνον οὐ παρεγένετο.

FABULA XX.

Jupiter, & Teſtudo.

JUpitur nuptias celebrans, omnia animalia convivio accipiebat. Sola verò Teſtudine tardiùs adveniente, admirans cauſam tarditatis, rogavit

τῆς δὲ εἰπούσης, οἶκος φίλος, οἶκος ἄριστος, ἀγανακτήσας κατ' αὐτῆς, κατεδίκασε τὸν οἶκον βαστάζουσαν περιφέρειν.


vit eam, quamobrem ipſa ad cœnam non acceſſiſſet. Quæ quũ dixiſſet, Domus cara, domus optima; iratus ipſi, eam, ut domum bajularet ac circumferret, damnavit.

ΕΠΙΜΥΘΙΟΝ.

ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων αἱροῦνται μᾶλλον λιτῶς παρ' ἑαυτοῖς ζῆν, ἢ παρ' ἄλλοις πολυτελῶς.

AFFABULATIO.

Fabula ſignificat, pleroſque hominum malle parcè potius apud ſe vivere, quàm apud alios lautè.



κά. ΙΠΠΟΣ καὶ ΟΝΟΣ.

Ἄνθρωπός τις εἶχεν

FABULA XXI.
Equus & Aſinus.

HOMO quidam

Ἵππον καὶ ὄνον. ὁδευόντων δὲ ἐν τῇ ὁδῷ, εἶπεν ὁ ὄνος τῷ Ἵππῳ· Ἆρον ἐκ τοῦ ἐμοῦ βάρους, εἰ θέλεις εἶναί με σῶον. ὁ δὲ οὐκ ἐπείσθη. ὁ δὲ ὄνος πεσὼν, ἐκ τοῦ κόπου ἐτελεύτησε. Τοῦ δὲ δεσπότου πάντα ἐπιθέντος αὐτῷ, καὶ αὐτὴν τοῦ ὄνου δορὰν, θρηνῶν ὁ Ἵππος ἐβόα· Οἴμοι τῷ παναθλίῳ, τί μοι συνέβη τῷ ταλαιπώρῳ; Μὴ θελήσας γὰρ μικρὸν βάρος λαβεῖν, ἰδοὺ ἅπαντα βαστάζω, καὶ τὸ δέρμα.

Equum & Aſinum habebat. Qui quum iter facerent in via, ait Equo Aſinus, Tolle ex meo onere, ſi vis me eſſe ſalvum. quod illi non perſuaſit. Quum ergo cecidiſſet Aſinus, ac præ labore obiiſſet, herúſque ei omnia, atque etiam ipſam Aſini imponeret pellem, lamentari Equus, ac clamare: Heu mihi miſerrimo! quid mihi evênit miſero? Quia enim parum oneris nolui accipere, ecce omnia, & ipſam pellem, geſto.

ἘΠΙΜΥΘΙΟΝ.

ὁ μῦθος δηλοῖ, ὅτι τοῖς μικροῖς οἱ μεγάλοι συγκοινωνοῦντες, ἀμφότεροι σωθήσονται ἐν βίῳ.

AFFABULATIO.

Fabula ſignificat, ſi magni cum parvis ſubſidium commune ferant, utroſque ſervari in vita.



κβʹ. ΚΛΕΠΤΑΙ καὶ ΑΛΕΚΤΡΥΩΝ.

Κλέπται εἴς τινα εἰσελθόντες οἰκίαν, οὐδὲν εὗρον ὅτι μὴ ἀλεκτρυόνα, καὶ τοῦτον λαβόντες ἀπῄεσαν. ὁ δὲ μέλλων ὑπ' αὐτῶν θύεσθαι, ἐδεῖτο,

FABULA XXII. Fures & Gallus.

FUres in domum quandam ingreſſi, quum nihil inveniſſent præter Gallum; eo ſurrepto, abierunt. Quem quum

ὡς ἂν αὐτὸν ἀπολύσωσι, λέγων, χρήσιμος εἶναι τοῖς ἀνθρώποις, νυκτὸς αὐτοὺς ἐπὶ τὰ ἔργα ἐγείρων. Οἱ δ' ἔφησαν. Ἀλλὰ διὰ τοῦτό σε μᾶλλον θύομεν· ἐκείνους γὰρ ἐγείρων, κλέπτειν ἡμᾶς οὐκ ἐᾶς.

mactaturi eſſent, rogabat, ut ſe dimitterent, utilem ſe eſſe hominibus dicens, quod noctu ad opera eos excitaret. Qui dixerunt, Atqui vel propterea mactaberis; quippe eos dum excitas, furari nos non ſinis.

ΕΠΙΜΥΘΙΟΝ.

Ὁ μῦθος δηλοῖ, ὅτι ταῦτα μάλιστα τοῖς πονηροῖς ἐναντιοῦται, ἃ τοῖς χρηστοῖς ἐστιν εὐεργετήματα.

AFFABULATIO.

Fabula ſignificat, ea maximè pravis obeſſe, quæ bonis proſunt.



κγ'.

ΟΔΟΙΠΟΡΟΙ.

Δύο τινὲς κατὰ ταυτὸν ὡδοιπόρουν, καὶ θατέρου πέλεκυν εὑρόντος, ἅτερος ὁ μὴ εὑρὼν παρῄνει αὐτὸν, μὴ λέγειν, Εὕρηκα, ἀλλ' Εὑρήκαμεν. Μετὰ μικρὸν δὲ ἐπελθόντων αὐτοῖς τῶν τὸν πέλεκυν ἀποβεβληκότων, ὁ ἔχων αὐτὸν διωκόμενος, πρὸς τὸν μὴ εὑρόντα συνοδοιπόρον ἔλεγεν, Ἀπολώλαμεν. ὁ δ' εἶπεν,

FABULA XXIII.

Viatores.

DUo quidam unà cõficiebant iter. Quumque alter ſecurim reperiſſet; alter qui non invenerat, monebat ipſum, ne diceret, Inveni, ſed Invenimus. Verũ paulò poſt, quum ſupervenirent qui amiſerant ſecurim; atque ab iis urgeretur

is

Ἀπόλωλα, λέγε, οὐκ Ἀπολώλαμεν. καὶ γὰρ καὶ ὅτε τὸν πέλεκυν εὗρες, Εὕρηκα ἔλεγες, οὐχ Εὑρήκαμεν.

is qui habebat, dixit comiti itineris, qui eam non repererat, Periimus. Hic autem illi, Perii, inquit, dic, non Periimus. etenim & tunc, quum ſecurim inveniſti, Inveni dixiſti, non Invenimus.


ΕΠΙΜΥΘΙΟΝ.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ μὴ μεταλαμβάνοντες τῶν εὐτυχημάτων, οὐδ᾽ ἐν ταῖς συμφοραῖς βέβαιοί εἰσι φίλοι.

AFFABULATIO.

Fabula ſignificat, qui non fuerunt participes felicitatum, neque in calamitatibus firmos eſſe amicos.

FABU-



κδ'. ΝΕΑΝΙΣΚΟΙ καὶ ΜΑΓΕΙΡΟΣ.

Δύο Νεανίσκοι Μαγείρῳ παρεκάθηντο. καὶ δὴ τοῦ Μαγείρου περί τι τῶν οἰκείων ἔργων ἀσχολουμένου, ἅτερος τούτων μέρος τι τῶν κρεῶν ὑφελόμενος, εἰς τὸν θατέρου καθῆκε κόλπον. Ἐπιστραφέντος δὲ τοῦ Μαγείρου, καὶ τὸ κρέας ἐπιζητοῦντος, ὁ μὲν εἰληφὼς ὤμνυε, μὴ ἔχειν· ὁ δὲ ἔχων, μὴ εἰλη-

FABULA XXIV.
Adoleſcentuli, & Cocus.

DUo adoleſcentuli apud Cocum aſſidebant: eoque in aliquod domeſticum opus intento, alter horum partē quandam carnium ſubreptam, in alterius demiſit ſinum. Converſo autem Coco, ac quærente

φέναι. ὁ δὲ Μάγειρος αἰσθόμενος τὴν κακουργίαν αὐτῶν, εἶπεν· Ἀλλὰ κἂν ἐμὲ λάθητε, τόν γ' ἐπιορκούμενον Θεὸν οὐκ οὖν λήσεσθε.

rente carnem; qui abſtulerat, ſe non habere; qui autem habebat, non abſtuliſſe, jurabat. Coquus verò, malignitate eorum probè perſpectâ, Me quidem etſi, inquit, latueritis, pejeratum Deum non latebitis.

ΕΠΙΜΥΘΙΟΝ.

Ὁ μῦθος δηλοῖ, ὅτι κἂν ἀνθρώπους ἐπιορκοῦντες λάθωμεν, ἀλλὰ τόν γε Θεὸν οὐ λήσομεν.

AFFABULATIO.

Fabula ſignificat, quod, licèt homines pejerantes lateamus, Deum tamen non latebimus.



κέ. ΓΕΩΡΓΟΣ καὶ ΠΑΙΔΕΣ ΑΥΤΟΥ.

ΓΕΩΡΓΟΣ τις μέλλων καταλύειν τὸν βίον, καὶ βουλόμενος τοὺς ἑαυτοῦ παῖδας πεῖραν λαβεῖν τῆς γεωργίας, προσκαλεσάμενος αὐτοὺς, ἔφη· Παῖδες ἐμοὶ, ἐγὼ μὲν ἤδη τὸν βίον ὑπέξειμι· ὑμεῖς δ', ἅπερ ἐν τῇ ἀμπέλῳ μοι κέκρυπται, ζητήσαντες, εὑρήσετε πάντα. Οἱ μὲν οὖν οἰηθέντες,

FABULA XXV.
Agricola, & filii ipſius.

AGRICOLA quidam vitâ exceſſurus, volenſque filios ſuos periculum facere de agricultura, vocatis ipſis, Filii mei, ego jam è vita diſcedo, inquit: vos autem, ſi, quę in vinca à me occultata ſunt, quæſieritis, invenietis omnia.

θησαυρὸν ἐκεῖ που κατορωρύχθαι, πᾶσαν τὴν τῆς ἀμπέλου γῆν μετὰ τὴν ἀποβίωσιν τοῦ πατρὸς κατέσκαψαν. Καὶ θησαυρῷ μὲν οὐ περιέτυχον· ἡ δὲ ἄμπελος καλῶς σκαφεῖσα, πολλαπλασίονα τὸν καρπὸν ἀνέδωκεν.

omnia. Illi igitur rati, theſaurum illic alicubi defoſſum eſſe, omnē vineæ terram poſt interitum patris defoderunt. Ac theſaurum quidem non invenerunt: cæterùm vinea pulcre foſſa, multiplicem fructum reddidit.

ΕΠΙΜΥΘΙΟΝ.

ὁ μῦθος δηλοῖ, ὅτι ὁ κάματος θησαυρός ἐστι τοῖς ἀνθρώποις.

AFFABULATIO.

Fabula ſignificat, laborem theſaurum eſſe hominibus.



κϛ'. ΔΕΣΠΟΤΗΣ ϗ ΚΥΝΕΣ.

ἈΝΗ'Ρ τις ὑπὸ χειμῶνος ἐν τῷ αὐτοῦ προαστείῳ ἀποληφθεὶς, πρῶτα μὲν τὰ πρόβατα κατέφαγεν, εἶτα τὰς αἶγας. Τοῦ δὲ χειμῶνος ἐπικαρτοῦντος, ϗ τοὺς ἐργάτας βοῦς σφάξας ἐθοινήσατο. Οἱ δὲ Κύνες ταῦτα ἰδόντες, διελέχθησαν πρὸς ἀλλήλους· φεύγωμεν ἀλλ' ἡμεῖς γε ἐν-

FABULA XXVI. Herus & Canes.

VIr quidam tempeſtate in ſuburbio deprehenſus ſuo, primùm oves, hinc capras comêdit. Tēpeſtate autem invaleſcente, operarios quoque boves jugulavit ac comêdit. Canes verò, id quum vidiſſent, inter ſe dixerunt: Fugiamus

τεῦθεν. εἰ γὰρ τῶν ἐργατῶν βοῶν ὁ δεσπότης ἡμῶν οὐκ ἐφείσατο, πῶς ἡμῶν φείσεται;

nos hinc. Si enim operariis bobus herus noſter non pepercit; nobis quomodo parcet?

ΕΠΙΜΥΘΙΟΝ.

ὁ μῦθος δηλοῖ, ὅτι τούτους μάλιστα φεύγειν καὶ φυλάττεσθαι χρή, οἵτινες οὐδὲ τῶν οἰκείων ἀπέχονται.

AFFABULATIO.

Fabula ſignificat, eos maximè fugere & cavere oportere, qui ne ſuis quidem abſtinent.



κζ'.
ΑΛΩΠΕΚΕΣ.

Ἀλώπηξ ἐν παγίδι ληφθεῖσα, καὶ ἀποκοπείσης τῆς οὐρᾶς διαδρᾶσα, ἀβίωτον ὑπ' αἰσχύνης ἡγεῖτο τὸν βίον. Ἔγνω οὖν καὶ τὰς ἄλλας Ἀλώπεκας τοῦτ' αὐτὸ νουθετῆσαι, ὡς ἂν τῷ κοινῷ πάθει τὸ ἴδιον συγκαλύψειεν αἶσχος. Καὶ δὴ πάσας ἀθροίσασα, παρῄνει τὰς οὐρὰς

FABULA XXVII.
Vulpes.

VUlpes laqueo capta, quum abſciſſâ caudâ evaſiſſet, minimè vitalem præ pudore exiſtimabat ſibi vitam. Itaque & aliis Vulpibus hoc idem perſuadere decrevit: ut communi malo ſuum celaret dedecus. Convocatis ergo omnibus, illis quo-

ἀποκόπτειν, ὡς οὐκ ἀπρεπὲς μόνον τοῦτο τὸ μέλος ὄν, ἀλλὰ καὶ περιττὸν βάρος προσηρτημένον. Ὑπολαβοῦσα δέ τις αὐτῶν, εἶπεν· Ὦ αὕτη, ἀλλ᾽ εἰ οὖ σοι τοῦτο προσέφερεν, οὐκ ἂν ἡμῖν αὐτὸ συνεβούλευες.

quoque ſuadet caudas ut præcídant, quòd non modò parum decorum hoc membrum, ſed & onus ſupervacuum, & appendix quædam eſſet. Cui quædam ex ipſis reſpondens, Heus tu, niſi hoc è re tua eſſet, nobis non ſuaderes, inquit.

ΕΠΙΜΥΘΙΟΝ.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ πονηροὶ τῶν ἀνθρώπων οὐ δι᾽ εὔνοιαν τὰς πρὸς τοὺς πέλας ποιοῦνται συμβουλίας, ἀλλὰ διὰ τὸ αὐτοῖς συμφέρον.

Affabulatio.

Fabula ſignificat, pravos homines non benevolentiâ, quâ proſequuntur alios, ſed ex utilitate ſua, conſilium iis dare.



κη΄.

ΕΡΜΗΣ καὶ ΑΓΑΛΜΑΤΟΠΟΙΟΣ.

Ερμῆς, γνῶναι βουλόμενος, ἐν τίνι τιμῇ παρ' ἀνθρώποις ἐστὶν, ἧκεν εἰς Ἀγαλματοποιοῦ, ἑαυτὸν εἰκάσας ἀνθρώπῳ. καὶ θεασάμενος ἄγαλμα τοῦ Διὸς, ἠρώτα, πόσου τις αὐτὸ πρίασθαι δύναται. Τοῦ δὲ εἰπόντος, Δραχμῆς, γελάσας, Πόσου τὸ τῆς Ἥρας;

FABULA XXVIII.

Mercurius & Statuarius.

Mercurius, ſcire volens, quanti apud homines eſſet, aſſumtâ hominis formâ, in domum Statuarii venit: visâque ſtatuâ Jovis, quanti inſcriberet, rogavit. Quumque reſponderetur, Drachma, ſubriſit; &, quan-

ἔφη. Εἰπόντος δὲ πλείονος, ἰδὼν καὶ τὸ ἑαυτοῦ ἄγαλμα, καὶ νομίσας, ὡς ἐπειδὴ ἄγγελός ἐστι Θεῶν, καὶ κερδῷος, πολλὴν αὐτοῦ παρὰ τοῖς ἀνθρώποις εἶναι τὸν λόγον, ἤρετο περὶ αὐτοῦ. Ὁ δὲ Ἀγαλματοποιὸς ἔφη· Ἐὰν τούτους ὠνήσῃ, καὶ τοῦτον προσθήκην σοὶ δίδωμι.

ti autem Junonis? inquit. Quumque venditor dixiſſet, Pluris; ſuam quoque inſpiciens ſtatuam, arbitratus, quum nuncius Deorum ſit, & lucri præſes, maximam ſui ab hominibus haberi rationem, de ſua rogavit. Cui Statuarius, Haſce ſi emeris, hæc cæteris accedet.

ΕΠΙΜΥΘΙΟΝ.

Ὁ μῦθος πρὸς ἄνδρα κενόδοξον, ἐν οὐδεμιᾷ παρ᾽ ἄλλοις ὄντα τιμῇ.

AFFABULATIO.

Fabùla in hominem glorioſum; qui nullius apud alios eſt pretii.



κθ'. ΛΥΚΟΣ ϗ ΓΕΡΑΝΟΣ.

Λύκος λαιμῷ ὀστέον ἐπεπήγει· ὁ δὲ Γεράνῳ μισθὸν παρέξειν εἶπεν, εἰ τὴν κεφαλὴν αὐτῆς ἐπιβαλοῦσα, τὸ ὀστοῦν ἐκ τοῦ λαιμοῦ αὐτοῦ ἐκβάλοι. Ἡ δὲ ποτ' ἐκβαλοῦσα, δολιχόδειρος οὖσα, τὸν μισθὸν ἐπεζήτει. Ὅστις γελάσας, ϗ τοὺς ὀδόντας θήξας, Ἀρκεῖ σοι μισθὸς, ἔφη, τοῦτο ϗ

FABULA XXIX.

Lupus & Grus.

LUPUS gutturi quum os infixum haberet, mercedem Grui præbiturum dixit, ſi, injecto capite, os è gutture ſibi eduxiſſet. Quod quum illa, ut quæ longo eſſet collo, eduxiſſet, mercedem flagitare cœpit. Ille ſubridens, denteſque exacuens,

μόνον, ὅτι ἐκ λύκου στόματος καὶ ὀδόντων ἐξῆρες κάραν σῶαν, καὶ μηδὲν παθοῦσαν.

cuens, Sufficiat tibi, inquit, illa ſola merces, quod ex ore Lupi dentibuſque ſalvum caput & illæſum exemiſti.

ΕΠΙΜΥΘΙΟΝ.

ὁ μῦθος πρὸς ἄνδρας, οἵτινες ἀπὸ κινδύνου διασωθέντες, τοῖς εὐεργέταις τοιαύτας ἀπονέμουσι χάριτας.

AFFABULATIO.

Fabula in homines, qui à periculo ſervati, bene de ſe meritis gratiam ejuſmodi perſolvunt.



λ'.
ΑΛΙΕΥΣ.

Ἁλιεύς ἔν τινι ποταμῷ ἡλίευεν. Διατείνας δὲ τὰ δίκτυα, καὶ τὸ ῥεῦμα περιλαβὼν ἑκατέρωθεν, καλωδίῳ προσδήσας λίθον, τὸ ὕδωρ ἔτυπτεν, ὅπως οἱ ἰχθύες φεύγοντες, ἀπαραφυλάκτως τοῖς βρόχοις ἐμπέσωσι. Τῶν δὲ περὶ τὸν τόπον οἰκούντων τις θεασάμενος τοῦτο ποιοῦντα,

FABULA XXX.
Piſcator.

PIſcator in fluvio quodam piſcabatur: extenſiſque retibus, ac fluxu cōprehenſo utrimque, funi alligato lapide, aquā verberare cœpit: ut ſic piſces incautè fugientes in retia inciderent. Id quum quidam ex iis, qui circa eum habitarent locum,

ἐμέμφετο, ὡς τὸν ποταμὸν θολοῦντα, καὶ διειδὲς ὕδωρ μὴ συγχωροῦντα πίνειν. Καὶ ὃς ἀπεκρίνατο· Ἀλλ' εἰ μὴ οὕτως ὁ ποταμὸς ταράττεται, ἐμὲ δεήσει λιμώττοντα ἀποθανεῖν.

cum, facientem vidiſſet, expoſtulare cum eo, quod fluvium turbaret, claramque aquam bibi non ſineret. qui reſpondit. Atqui niſi fluvius turbetur, mihi fame moriendum erit.

ΕΠΙΜΥΘΙΟΝ.

ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν πόλεων οἱ δημαγωγοὶ τότε μάλιστα ἐργάζονται, ὅταν τὰς πατρίδας εἰς στάσιν περιάγωσιν.

AFFABULATIO.

Fabula ſignificat, civitatum præſides tunc maximè ſua agere, quum eas in ſeditionem inducunt.



λα΄. ΛΥΚΟΣ καὶ ΓΡΑΥΣ.

Λύκος λιμώττων, περιῄει ζητῶν τροφήν. Γενόμενος δὲ κατά τινα τόπον, ἤκουσε παιδίου κλαίοντος, καὶ γραὸς λεγούσης αὐτῷ· Παῦσαι τοῦ κλαίειν. εἰ δὲ μή, τῇ ὥρᾳ ταύτῃ ἐπιδώσω σε τῷ λύκῳ. Οἰόμενος δὲ ὁ λύκος, ὅτι ἀληθεύει ἡ γραῦς, ἵστατο πολλὴν ἐκδεχόμενος ὥραν. Ὡς

FABULA XXXI.

Lupus & Vetula.

LUpus eſuriens, cibum ut quæreret, vagabatur. Quumq; ad quendam perveniſſet locum, puerum plorantem, Anumq; audivit quandam, quæ illi diceret, Plorare deſine. ſin minus, Lupo hac hora te traditura ſum. Ratus igitur Lupus, ſerio

δ᾽ ἑσπέρα κατέλαβεν, ἀκούει πάλιν τῆς Γραὸς κολακευούσης τὸ παιδίον, καὶ λεγούσης αὐτῷ· Ἐὰν ἔλθῃ ὁ Λύκος δεῦρο, φονεύσομεν, ὦ τέκνον, αὐτόν. Ταῦτα ἀκούσας ὁ Λύκος, ἐπορεύετο, λέγων· Ἐν ταύτῃ τῇ ἐπαύλει, ἄλλα μὲν λέγουσιν, ἄλλα δὲ πράττουσιν.

ſeriò loqui Aniculã, diu admodum ibi exſpectavit. Quumque eum ibi oppreſſiſſet veſpera, rurſus Anum blandientẽ puerulo, ac dicentem ei audit, Si venerit huc Lupus, interficiemus eum, fili. Quæ quum audiſſet, diſceſſit Lupus, dixitque, In hac villa aliud dicunt, aliud faciunt (homines.)


ΕΠΙΜΥΘΙΟΝ.

Ὁ μῦθος πρὸς ἀνθρώπους, οἵτινες τὰ ἔργα τοῖς λόγοις οὐκ ἔχουσιν ὅμοια.

AFFABULATIO.

Fabula in homines, quorum facta verbis non reſpondent.

FABU-



λϐ'.

ΚΥΝΕΣ.

Ἔχων τις δύο κύνας, τὸν μὲν ἕτερον θηρεύειν ἐδίδαξε, τὸν δὲ λοιπὸν οἰκοφυλακεῖν. Καὶ δὴ εἴ ποτε ὁ θηρευτικὸς ἤγρευέ τι, καὶ ὁ οἰκουρὸς συμμετεῖχεν αὐτῷ τῆς θοίνης. Ἀγανακτοῦντος δὲ τοῦ θηρευτικοῦ, κἀκεῖνον ὀνειδίζοντος, εἴ γε αὐτὸς μὲν καθ' ἑκάστην μοχθεῖ, ἐκεῖνος δὲ

FABULA XXXII.

Canes.

Quidam duos cũ haberet Canes, alterum venari, alterum domum ſervare docuit. Cæterùm ſi quando Venaticus caperet aliquid, Domeſticus particeps unà cum eo erat cœnæ. Id cum ægre ferret Venaticus, illique objiceret, quòd, cùm ipſe

μηδὲν πονῶν τοῖς αὐτοῦ τρέφεται πόνοις· ὑπολαβὼν αὐτὸς εἶπε· Μὴ ἐμὲ, ἀλλὰ τὸν δεσπότην μέμφου. ὃς οὐ πονεῖν με ἐδίδαξεν, ἀλλὰ πόνους ἀλλοτρίους ἐσθίειν.

ipſe quotidie laboraret, ille otioſus ſuis nutriretur laboribus; reſpondit, dixitque: Non me, ſed herum reprehende; qui non laborare me, ſed labores alienos comeſſe docuit.

ΕΠΙΜΥΘΙΟΝ.

ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν νέων οἱ μηδὲν ἐπιστάμενοι οὐ μεμπτοί εἰσιν, ὅταν αὐτοὺς οἱ γονεῖς οὕτως ἀγάγωσιν.

AFFABULATIO.

Fabula ſignificat, adoleſcentes, qui nihil ſciunt, haud eſſe reprehendendos, quum eos ſic educaverint parentes.



λγ'. ΑΝΘΡΩΠΟΣ ΚΑΤΑΘΡΑΥΣΑΣ ΑΓΑΛΜΑ.

Ἄνθρωπός τις ξύλινον ἔχων Θεὸν, πένης ὢν καθικέτευε τοῦ ἀγαθοποιῆσαι αὐτόν. Ὡς οὖν ταῦτα ἔπραττε, καὶ οὐδὲν ἧττον ἐν πενίᾳ διῆγε, θυμωθεὶς, ἄρας αὐτὸν τῶν σκελῶν, ἔρριψεν εἰς τὸ ἔδαφος. Προσκρουσάσης οὖν τῆς κεφαλῆς, καὶ αὐτίκα κλα-

FABULA XXXIII. Homo perfractor ſtatuæ.

HOMO quidam, ligneum quum haberet Deum, & egeret, ſupplicabat, ut ſibi benefaceret, Hæc igitur quum faceret, neque minus in paupertate degeret, iratus, cruribus eum arripuit, ac pavimento illiſit. Illiſo igitur

θείσης, χρυσὸς ἐῤῥύσεν ὅτι πλεῖστος. ὅνπερ δὴ συνάγων ὁ ἄνθρωπος, ἐβόα· Στρεβλὸς ὑπάρχεις, ὥς γε οἶμαι, καὶ ἀγνώμων. τιμῶντά σε γὰρ ἥκιστά με ὠφέλησας, τύψαντα δέ σε πολλοῖς καλοῖς ἀμείβῃ.

igitur capite, ac ſtatim diffracto,. auri quàm plurimum effluxit. Quod ille dum colligeret, exclamabat: Perverſus es, ut puto, & ingratus: qui dum te colerem, nihil mihi profuiſti; verberanti autē plurima donaſti bona.


ΕΠΙΜΥΘΙΟΝ.

ὁ μῦθος δηλοῖ, ὅτι οὐκ ὠφελήσῃ τιμῶν πονηρὸν ἄνθρωπον, τύπτων δὲ αὐτὸν μᾶλλον ὠφελήσῃ.

AFFABULATIO.

Fabula ſignificat, nullo commodo pravum coli hominem; qui majore verberetur commodo.

FABU-



λδ΄. ΓΥΝΗ καὶ ΘΕΡΑΠΑΙΝΑΙ.

Γυνὴ χήρα φίλεργος, θεραπαινίδας ἔχουσα, ταύτας εἰώθει νυκτὸς ἐγείρειν ἐπὶ τὰ ἔργα, πρὸς τὰς τῶν ἀλεκτρυόνων ᾠδάς. Αἱ δὲ συνεχῶς τῷ πόνῳ ταλαιπωρούμεναι, ἔγνωσαν, δεῖν τὸν ἐπὶ τῆς οἰκίας ἀποκτεῖναι ἀλεκτρυόνα, ὡς ἐκείνου νύκτωρ ἐξανιστάντος τὴν δέσποιναν. Συνέβη δ'

FABULA XXXIV.

Mulier & Ancillæ.

Mulier vidua, laborioſa, Ancillas quum haberet, nocte cum gallicinio ad opus excitare eas ſolebat. Quæ aſſiduo defatigatæ labore, domeſticum mactare gallum decreverunt; ut qui noctu excitaret Heram. Evênit autem ipſis, quum

αὐταῖς τοῦ διαπράξαμένοις, χαλεπωτέροις περιπεσεῖν τοῖς δεινοῖς. Ἡ γὰρ Δεσπότις ἀγνοοῦσα τὴν τῶν ἀλεκτρυόνων ὥραν, ἐννυχώτερον ταύτας ἀνίστη.

hoc feciſſent, ut in graviora inciderent mala. Nam Hera, quum ignoraret gallorum horam, maturiùs multâque adhuc nocte eas excitabat.

ΕΠΙΜΥΘΙΟΝ.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοῖς ἀνθρώποις τὰ βουλεύματα κακῶν αἴτια γίνεται.

AFFABULATIO.

Fabula ſignificat, pleriſque hominibus conſilia malorum cauſas eſſe.

FABU-



λέ. ΚΟΜΠΑΣΤΗΣ.

ΑΝΗ'Ρ τις ἀποδημήσας, εἶτα δὲ πάλιν πρὸς τὴν ἑαυτοῦ γῆν ἐπανελθὼν, ἄλλα τε πολλὰ ἐν διαφόροις ἠνδραγαθηκέναι χώραις ἐκόμπαζε, καὶ δὴ κἂν τῇ Ῥόδῳ πεπηδηκέναι πήδημα, οἷον οὐδεὶς τῶν ἐπ' αὐτοῦ δυνατὸς ἂν εἴη πηδῆσαι. πρὸς τοῦτο δὲ καὶ μάρτυρας τοὺς ἐκεῖ παρόντας ἔλεγχον ἔχειν. Τῶν δὲ πα-

FABULA XXXV.

Jactator.

VIR quidam peregrinatus, deinde in patriam reverſus, cùm alia multa diverſis viriliter geſſiſſe locis jactabat: tum Rhodi ſaltaſſe ſaltum, quem nullus ejus loci ſaltare potuiſſet. quin & teſtes, qui interfuiſſent, habere ſe ajebat. Qui-

ρόντων τις ὑπολαβὼν, ἔφη· Ὦ οὗτος, εἰ ἀληθὲς τοῦτ' ἔστιν, οὐδὲν δεῖ σοι μαρτύρων· ἰδοὺ Ῥόδος, ἰδοὺ καὶ τὸ πήδημα.

dam autem ex iis, qui aderant, Heus tu, reſpondit, ſi verum hoc eſt, nihil tibi opus teſtibus; En Rhodus, en ſaltus.

ΕΠΙΜΥΘΙΟΝ.

Ὁ μῦθος δηλοῖ, ὅτι ἐὰν μὴ πρόχειρος ἡ τοῦ πράγματος ἀπόδειξις ᾖ, πᾶς λόγος περιττός ἐστιν.

AFFABULATIO.

Fabula ſignificat, niſi promta rei demonſtratio ſit, verba omnia vana & ſupervacua eſſe.



λϛʹ. ΚΑΚΟΠΡΑΓΜΩΝ.

ΑΝΗ`Ρ κακοπράγμων εἰς τὸν ἐν Δελφοῖς ἧκεν Ἀπόλλωνα, πειράσαι τοῦτον βουλόμενος. Καὶ δὴ λαβὼν στρουθίον ἐν τῇ χειρὶ, καὶ τοῦτο τῇ ἐσθῆτι σκεπάσας, ἔστη τε τοῦ τρίποδος ἔγγιστα, καὶ ἤρετο τὸν Θεὸν, λέγων· Ἄπολλον, ὃ κατὰ χεῖρας φέρω, πότερον ἔμπνουν ἐστὶν, ἢ ἄπνουν; Βου-

FABULA XXXVI.

Malignus.

VIR malignus ad eum, qui Delphis eſt, ſe contulit Apollinē; tentaturus eum (ſcilicet.) Ergò comprehenſo manu paſſerculo, eoque veſte contecto, proximè tripodem ſtetit; rogavitque Deum, Utrumne, Apollo, inquit, quod manu teneo,

λόμενος, ὡς εἰ μὲν ἄπνουν εἴποι, ζῶν ἀναδεῖξαι τὸ στρουθίον. εἰ δ' ἔμπνουν, εὐθὺς ἀποπνίξας, νεκρὸν ἐκεῖνο προενεγκεῖν. ὁ δέ γε Θεὸς τὴν κακότεχνον αὐτοῦ γνοὺς ἐπίνοιαν, εἶπεν· ὁπότερον, ὦ οὗτος, βούλει ποιῆσαι, ποίησον. Παρὰ σοὶ κεῖται γὰρ τοῦτο πρᾶξαι, ἤτοι ζῶν, ὃ κατέχεις, ἢ νεκρὸν ὑποδεῖξαι.

neo, vivum eſt, an mortuum? ut, ſi mortuum diceret, vivum oſtenderet paſſerculum; ſin vivum, ſtatim ſuffocatum, mortuum produceret. Verum Deus, mentis ejus quum verſutiam perſpiceret, Utrum, heus tu, facere vis, facito, inquit. Penes te enim eſt facere illud; ſive vivum, quod contines, ſive mortuum producere velis.

ΕΠΙΜΥΘΙΟΝ.

ὁ μῦθος δηλοῖ, ὅτι τὸ θεῖον ἀπαραλόγιστον καὶ ἀλάθητον.

AFFABULATIO.

Fabula ſignificat, Numen neque decipi poſſe, nec quicquam latêre.



λζʹ. ΠΑΙΣ καὶ ΜΗΤΗΡ.

Παῖς ἐκ διδασκαλείου τὴν τοῦ συμμαθητοῦ δέλτον κλέψας, ἤνεγκε τῇ Μητρί. Τῆς δὲ μὴ ἐπιπληξάσης, μᾶλλον μὲν οὖν ἀποδεξαμένης, προϊὼν τοῖς χρόνοις ἤρξατο καὶ τὰ μείζω κλέπτειν. Ἐπ' αὐτοφώρῳ δέ ποτε ληφθεὶς, ἀπήγετο τὴν πρὸς θάνατον. Τῆς δὲ Μητρὸς ἑπομένης καὶ ὀλοφυρομένης, ἐκεῖνος τοῦ

FABULA XXXVII.

Puer & Mater.

PUER in literario ludo condiſcipuli furatus librum, ad Matrem eum detulit. Quæ quum non corripuiſſet eum, quin & libenter admiſiſſet; provectus ætate & majora furari cœpit. In ipſo autem furto aliquando deprehenſus, recta

